# 0345-0407 - Iohannes Chrysostomus - In Herodem et infantes

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 292 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In Herodem et infantesὰ

[00002] Εἰς τὸν Ἡρώδην καὶ εἰς τὰ νήπια.

61.699

[00003] Ἤθελον μὲν ἀεὶ καὶ πάντοτε τὸν πνευματικὸν ἀφηγεῖσθαι λόγον, πειθόμενος Παύλῳ τῷ λέγοντι·

[00004] Πνευματικοῖς πνευματικὰ συγκρίνοντες·

[00005] μάλιστα δὲ ὅτι χρεώστης ἀπεφάνθην τῆς προτέρας Κυριωνύμου Κυριακῆς.

[00006] Οὐκ οἶδ' ὅπως τοῦτο συμβαίνει περὶ ἐμὲ, τοῦ ἀεὶ χρέους μὴ ἀπαλλάττεσθαι τὴν ἐμὴν πενίαν, ὑμῶν τῶν ἀπλήστων ἐν τοῖς πνευματικοῖς δανειστῶν μεθοδευόντων σὺν τόκῳ τὸ ὄφλημα.

[00007] Ἀλλ' ὅμως οὐκ ἀποδύρομαι, ὦ φίλοι, ἀλλὰ πλέον ἀγάλλομαι·

[00008] πλουσίου γὰρ δεσπότου εὔελπις δοῦλός εἰμι.

[00009] Διὸ συγγνώμην οὐκ αἰτῶ, ἀλλ' ἐνδοχὴν παρακαλῶ.

[00010] Ἔχω γὰρ τὸν λογοδότην Θεὸν, τὸν λέγοντα·

[00011] Ἄνοιξον τὸ στόμα σου, καὶ πληρώσω αὐτὸ, οὐ διὰ τὴν τοῦ λαλοῦντος ἀξίαν, ἀλλὰ διὰ τὴν τῶν ἀκουόντων εὐσεβῆ φιληκοΐαν.

[00012] Ἤκουες γοῦν τοῦ εὐαγγελιστοῦ Ματθαίου λέγοντος·

[00013] Ἰδὼν δὲ ὁ βασιλεὺς Ἡρώδης, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ὄντας ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων.

[00014] Ταῦτα ἐν τῇ κατὰ σάρκα γεννήσει τοῦ Χριστοῦ.

[00015] Ἄκουε δὲ πῶς ἐκ πολλῶν τῶν χρόνων προελέγετο.

[00016] Ὅπως, φησὶ πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ προφήτου λέγοντος·

[00017] Κραυγὴ ἐν Ῥαμᾷ ἠκούσθη Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς.

[00018] Ὁρᾷς πρὸ πόσων γενεῶν κατηγγέλλετο ἡ τοῦ Ἡρώδου ἐπ' ἐσχάτων τῶν ἡμερῶν μανία;

[00019] Ἀποστείλας γὰρ, φησὶν, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς.

[00020] Ὢ τῆς τοῦ Ἡρώδου μανίας, μᾶλλον δὲ τῆς τοῦ διαβόλου κακίας! αὐτοῦ γὰρ ἦν καὶ τοῦτο τὸ ἔργον·

[00021] αὐτὸς ὥπλισε τὸν Ἡρώδην κατὰ τῶν νηπίων.

[00022] Ἀλλ' ὅμως καθ' ἑαυτοῦ τὸ ξίφος τῆς βρεφοκτονίας ἤγειρε·

[00023] πολλὰ γὰρ ὁ Ἡρώδης μηχανησάμενος οὐκ ἀνεῖλεν Ἰησοῦν, ὃν ἐζήτει·

[00024] ἡ δὲ τοῦ Ἡρώδου ἀποτυχία, τοῦ διαβόλου ταλαιπωρία.

[00025] Ἰδὼν, φησὶν, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς.

[00026] Ὢ Ἡρώδη, τί προπετῶς θυμοῦσαι;

[00027] τί ὁπλίζῃ κατὰ τῶν νηπίων;

[00028] Ὑπὸ τῶν μάγων ἐνεπαίχθης, καὶ τὰ βρέφη φονοκτονεῖς;

[00029] μὴ γὰρ τὰ βρέφη τοὺς μάγους ὡδήγησαν;

[00030] ἀστὴρ αὐτοῖς ἐμήνυσε τὸν τεχθέντα Δεσπότην.

[00031] Τὸν ἀστέρα οὖν μὴ δυνάμενος τοξεῦσαι, τὰ βρέφη φονο

[00032] [61.700] κτονεῖς;

[00033] ἢ διὰ τοῦτο τῆς βασιλείας ἐπελάβου, ἵνα κατὰ θηλαζόντων τὴν ἰσχὺν ἐπιδείξῃ;

[00034] νηπίοις πολεμεῖς, Ἡρώδη;

[00035] μητέρας ἀτεκνοῖς;

[00036] μαστοὺς ξηραίνεις;

[00037] ἀγκάλας γυμνοῖς;

[00038] σπλάγχνα τιτρώσκεις;

[00039] γυναιξὶν ὠδινούσαις θρήνους πληθύνεις;

[00040] ἀπὸ διετοῦς καὶ κατωτέρω ἀνελεῖς τὰ βρέφη;

[00041] Ἔχεις γὰρ ποῦ ἐμπείρῃς τὸ ξίφος.

[00042] Τοῦτο οὐκ ἔστι φονοκτονῆσαι, ἀλλὰ ἀωροτομῆσαι.

[00043] Ἐπίδειξον τοῖς παισὶ τὸ ξίφος·

[00044] ἐὰν φοβηθέντα δειλιάσωσι, φόνευε, κατάσφαζε·

[00045] ἐὰν δὲ ἱλαρυνόμενα προσδράμωσι τῷ ξίφει, τί προσφέρεις τὸ ξίφος τοῖς προσγελῶσι τῷ ξίφει;

[00046] Νομίζεις, Ἡρώδη, μετελθεῖν τὸν Σωτῆρα καὶ φονοκτονῆσαι τοῦτον;

[00047] Ἐπειδὴ δὲ ὅλως προήρησαι, ἔκπεμψον δόγμα, τοὺς μάγους μετακάλεσαι, τὸν ἀστέρα παράστειλον, τὸν Γαβριὴλ φυλάκισον, τοὺς προφήτας ἀνάκρινον, μητέρα Παρθένον ζήτησον·

[00048] ἐὰν τούτων ἐπιλάβῃ, τότε δυνήσῃ καὶ τὸν Χριστὸν εὕρασθαι.

[00049] Οὐ δοξολογεῖς, ἀλλὰ ζητεῖς τὸν ἀρεύστως τεχθέντα;

[00050] θεομαχεῖς, βασιλεῦ;

[00051] τὸν βασιλέα τυγχάνοντα πολυπραγμονεῖς;

[00052] κρατῆσαι θέλεις τὸν κρατοῦντά σε;

[00053] ὀλέσθαι θέλεις τὸν θέλοντά σε σῶσαι;

[00054] συσχεῖν πανουργεύεις τὸν παρεστῶτά σοι, καὶ διὰ τὴν πονηρίαν σου ὀφθῆναί σοι μὴ βουλόμενον;

[00055] οὗτός ἐστιν, Ἡρώδη, ὁ ἐκ πολλῶν τῶν

[00056] Επιτρέπετα

[00057] χρόνων βοήσας·

[00058] Ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσιν.

[00059] Ὡς νηπίου καταφρονεῖς τούτου;

[00060] Πολὺ τοῦ Ἀβραὰμ παλαιότερός ἐστι κατὰ τὴν θεότητα·

[00061] οὐ μόνον δὲ τοῦ Ἀβραὰμ παλαιότερος, ἀλλὰ καὶ τοῦ Ἀδὰμ δημιουργός.

[00062] Οὐ δειλίαν ἠμφίεσται, ἀλλ' οἰκονομίαν μετέρχεται.

[00063] Τί οὖν προπετῶς, Ἡρώδη, θυμοῦσαι;

[00064] Ἀκαίρου θυμοῦ τὸ κέρδος πτῶσις.

[00065] Τί τὰ ὅμοια Φαραὼ διαπράττῃ;

[00066] Ἐκεῖνος ἐν Αἰγύπτῳ τὰ ἄῤῥενα τῶν Ἑβραίων ποταμοῤῥιφῆναι προσέταξε, καὶ σὺ ἐν Βηθλεὲμ τὰ ἄῤῥενα τῶν Ἰουδαίων βρέφη φονοκτονεῖσθαι προστάττεις.

[00067] Ὢ ὁμόθυμος θυμός! ὢ ἰσοτάλαντος ἀσπλαγχνία! ὢ ὁμοδίαιτος πονηρίας! μᾶλλον δεῖ ἤδη τἀληθέστερον εἰπεῖν, ὅτι ὁ Ἡρώδης τοῦ Φαραὼ πολὺ θηριωδέστερος.

[00068] Ὡσαύτως δὲ καὶ οἱ δορυφόροι τοῦ Ἡρώδου τῶν ὑπασπιστῶν τοῦ Φαραὼ πολὺ χαλεπώτεροι.

[00069] Ὁ Φαραὼ, εἰ καὶ ἐν Αἰγύπτῳ τὰ ἄῤῥενα τῶν Ἰουδαίων βρέφη φονοκτονεῖσθαι προσέταξεν, ἀλλ' ὅμως ὡς ἀλλοεθνὴς ἐπεχείρει τοῦτο, δεδιὼς μὴ κατισχύσῃ τοῦτο τὸ τῶν Ἰσραηλιτῶν γένος, καὶ πορθήσῃ τοὺς Αἰγυπτίους.

[00070] Φειδοῖ τῶν Αἰγυπτίων τοὺς Ἰσραηλιτῶν παῖδας κατασφάζει·

[00071] διὰ φόβον πολεμεῖ, [61.701] οὐ διὰ φθόνον ἀναιρεῖ.

[00072] Οὕτω γὰρ ὁ Φαραὼ τοῦ Ἡρώδου φιλανθρωπότερος ἦν, ὅτι καὶ ὃν ἐθέσπισε νόμον ἀνέλυσε, καὶ διαλυτὴς ἐγένετο τοῦ ἰδίου θεσπίσματος.

[00073] Μόνον γὰρ εὗρε τὸν Μωϋσῆν ἐν θήκῃ τῷ ποταμῷ φερόμενον·

[00074] ἀνείλατο τοῦτον διὰ τῆς θυγατρὸς αὐτοῦ, καὶ οὐ μόνον οὐκ ἐφόνευσεν, ἀλλὰ καὶ ὡς υἱὸν ἀνέθρεψε, φειδοῖ τοῦ βρέφους τὸν νόμον καταλύσας.

[00075] Τί λέγεις, Ἡρώδη;

[00076] Φαραὼ τὸν Μωϋσέα διασώζει, καὶ σὺ τὸν Δεσπότην Χριστὸν μετελθεῖν προῄρησαι;

[00077] ἐκεῖνος τὸν μέλλοντα τὴν Αἴγυπτον μαστίζειν περιποιεῖται, καὶ σὺ τὸν σώζοντα τὴν οἰκουμένην φονεύειν θέλεις;

[00078] Οὕτω πάλιν καὶ τῶν δορυφόρων τοῦ Ἡρώδου οἱ ὑπασπισταὶ τοῦ Φαραὼ αἰδεσιμώτεροι.

[00079] Αἱ γὰρ μαῖαι ἅμα τῷ τοκετῷ τῶν βρεφῶν βροχῆσαι προσταχθεῖσαι τὰ ἄῤῥενα τῶν Ἑβραίων, οὐ μετῆλθον τοῦτο φιλόθεοι τυγχάνουσαι, καὶ ταῦτα Αἰγύπτιαι οὖσαι τῷ γένει·

[00080] εἱλίσσετο γὰρ αὐτῶν ἔνδον σπλάγχνα, ἐπιστάμεναι τί πάσχουσι μητέρες ἀῤῥένων βρεφῶν βιαίῳ θανάτῳ στερούμεναι.

[00081] Διὸ εἵλαντο μᾶλλον τῷ προσκαίρῳ προσκροῦσαι βασιλεῖ, ἢ τῷ μείζονι βασιλεῖ καὶ Θεῷ ἀντιτάξασθαι.

[00082] Ὁ δὲ Ἡρώδης οὐ πρὸς ἄλλο ἔθνος τὴν κακίαν ἐπεδείξατο, ἀλλὰ πρὸς τοὺς ὁμοφύλους τὴν μανίαν ἐτεκτήνατο.

[00083] Καὶ Φαραὼ μὲν τῇ Αἰγύπτῳ μόνῃ τὸν τοιοῦτον θυμὸν ἐγύμνωσε, καὶ οὐ περαιτέρω·

[00084] Ἡρώδης δὲ οὐ μόνον ἐν Βηθλεὲμ, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς χλωροκοπεῖσθαι τὰ βρέφη προσέταξεν.

[00085] Ὢ τοῦ ἀδίκου δόγματος ἐκείνου, τοῦ ἀθρόως ἐπισκηψαμένου τότε κατὰ πόλιν καὶ κώμας καὶ ἀγροὺς καὶ ῥύμας! Οὐκ ἦν ποῦ κρύψωσιν αἱ μητέρες τὰ τέκνα·

[00086] ἔξω γὰρ τῶν μητρικῶν ἀγκαλῶν μένειν οὐκ ἠνείχοντο.

[00087] Εἰ δέ ποτε μήτηρ ἠβουλήθη κρύψαι τὸ ἴδιον τέκνον ἐκεῖνο κλαυθμῷ ἑαυτὸ παρεδίδου, τῇ πρὸς τὸν μαστὸν φιλίᾳ τὸν θάνατον ἐφελκόμενον.

[00088] Ὥσπερ γὰρ ἰχθὺς ἔξω τοῦ ὕδατος ζῆν οὐκ ἀνέχεται, οὕτω καὶ βρέφος μητρικῶν μαστῶν στερούμενον οὐκ εἰς μακρὰν τὴν διαφθορὰν δέχεται.

[00089] Ὢ τῆς καθολικῆς θρηνῳδίας ἐκείνης! οὐχ εὑρίσκω πῶς διαγράψω τῶν μητρικῶν ὀδυρμῶν τὰ σχήματα.

[00090] Εἰ βαρβάρων ἔφοδος ἐγεγόνει, κουφότερον ἂν αἱ μητέρες τὴν ὀδύνην ἔφερον·

[00091] συμφορὰ γὰρ μεριζομένη μετριώτερον οἶδε δάκνειν τὸν πάσχοντα.

[00092] Οὐκ ἦν βαρβάρων ἔφοδος, [61.702] ἀλλ' ἐμφύλιος πόλεμος·

[00093] βία ἦν ἐντυχίαν μὴ ἔχουσα, παρανομία ἦν νόμον ἔχουσα συνήγορον.

[00094] Αἱ μητέρες ἐβόων, καὶ ὁ ἀκούων οὐκ ἦν·

[00095] τὰ βρέφη ἀντεθρήνουν, καὶ ὁ ἐλεῶν οὐ παρῆν·

[00096] οἱ μαστοὶ τῷ γάλακτι τὴν γῆν κατέῤῥεον, καὶ ὁ Ἡρώδης μᾶλλον ὡς λίθος ἐπεπήγει.

[00097] Ὠμότεροι τοῦ βασιλέως οἱ δορυφόροι, ἀλληνάλλως τὰ βρέφη μετήρχοντο, τὰ μὲν αὐτῶν πρὸς τοὺς τοίχους σπαράττοντες, τὰ δὲ ἐπὶ τῶν πετρῶν ἐδαφίζοντες, τὰ δὲ καὶ μακρόπνικτα καταλιμπάνοντες.

[00098] Ἐθορύβει γὰρ αὐτοὺς τοῦ τοιούτου δράματος ὁ ἐργοδιώκτης διάβολος.

[00099] Ἐπὶ τούτοις οὖν καὶ τοῖς παραπλησίοις αἱ μητέρες ᾐσθένουν, καὶ τῷ πάθει μεθύουσαι τῆς εὐπρεπείας οὐκ ἐφρόντιζον.

[00100] Τοὺς χιτῶνας διεῤῥήγνυον, τοὺς

[00101] Επιτρέπετα

[00102] πλοκάμους τῷ ἀέρι διέῤῥιπτον, τοὺς ὀφειλομένους κρύπτεσθαι μαστοὺς ἐδημοσίευον, τὸ στῆθος λίθοις κατήρασσον, τὰς παρειὰς ὡς δήμιοι κατέξεον, τὸν οὐρανὸν ὡς σιωπῶντα κριτὴν ἐμαρτύροντο, ἐντυχίαν ἐποιοῦντο πρὸς τὸν τῶν ὅλων κριτὴν καὶ Δεσπότην, λέγοντες·

[00103] Τίς ἡ τοσαύτη τοῦ βασιλέως ὠμότης, Δέσποτα;

[00104] Ἐν τοῖς σοῖς ἐκεῖνος πλάσμασι διαπράττεται·

[00105] σὺ ἐδημιούργησας, ἐκεῖνος κατασφάττων οὐ παύεται·

[00106] σὺ εὐχαρίσω, ἐκεῖνος ζημιοῖ.

[00107] Διὰ τί δὲ καὶ ἄῤῥενας ἐτέκομεν, εἰ οὕτω τῶν ἀῤῥένων πικρὸς ὁ θάνατος;

[00108] Εἰ σὸν τὸ πρόσταγμα, καὶ ἡμᾶς αὐτὰς συναποθανεῖν κέλευσον·

[00109] εἰ δὲ τοῦ παρανόμου βασιλέως τὸ ἐγχείρημα καὶ πρόσταγμα, τί θᾶττον αὐτὸν οὐ μετέρχῃ;

[00110] Ἀλλ' εἰκὸς μὲν τὰς μητέρας ὑπὸ τοῦ πάθους δακνομένας ταῦτα βοᾷν, μὴ εἰδυίας τὸ συμφέρον τοῖς αὐτῶν νεοττοῖς.

[00111] Τί δὲ μακαριώτερον τῶν διὰ τὸν Δεσπότην Χριστὸν ἐπιβουλευομένων;

[00112] τί μακαριώτερον τούτων τῶν παίδων, ὅτι οὐ δι' ἑαυτῶν ἐσφάζοντο μόνον, ἀλλὰ καὶ ὡς αὐτὸς ὁ Χριστὸς ἐφονεύετο;

[00113] Ὄντως εὔκαιρον εἰπεῖν πρὸς τὰς μητέρας τὸ τοῦ Κυρίου ῥητόν·

[00114] Μὴ κλαίετε, μητέρες, μὴ κλαίετε·

[00115] πρὸς ὀλίγον τοὺς ὑμετέρους κόλπους ἐζημίωσαν, ἀλλὰ τοὺς Ἀβραμιαίους κόλπους ἐκληρονόμησαν.

[00116] Μὴ κλαίετε, μητέρες, μὴ κλαίετε·

[00117] μηδὲ κωλύετε τὰ νήπια ἔρχεσθαι πρός με·

[00118] Τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν·

[00119] ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00120] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In Herodem et infantes**

**Litterarum Omnium Conspectus: 127 Litterae, quae repetitae sunt in 6,637 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 442 | Α | 0913 | 9 |
| β | 0946 | 54 | Β | 0914 | 5 |
| γ | 0947 | 90 | Γ | 0915 | 1 |
| δ | 0948 | 130 | Δ | 0916 | 0 |
| ε | 0949 | 327 | Ε | 0917 | 7 |
| ζ | 0950 | 19 | Ζ | 0918 | 1 |
| η | 0951 | 116 | Η | 0919 | 1 |
| θ | 0952 | 89 | Θ | 0920 | 2 |

| | | | | | |
|---|---|---|---|---|---|
| ι | 0953 | 256 | Ι | 0921 | 1 |
| κ | 0954 | 186 | Κ | 0922 | 6 |
| λ | 0955 | 204 | Λ | 0923 | 0 |
| μ | 0956 | 190 | Μ | 0924 | 6 |
| ν | 0957 | 521 | Ν | 0925 | 1 |
| ξ | 0958 | 23 | Ξ | 0926 | 0 |
| ο | 0959 | 506 | Ο | 0927 | 7 |
| π | 0960 | 201 | Π | 0928 | 4 |
| ρ | 0961 | 279 | Ρ | 0929 | 0 |
| ς | 0962 | 262 | • | 0930 | 0 |
| σ | 0963 | 215 | Σ | 0931 | 1 |
| τ | 0964 | 559 | Τ | 0932 | 10 |
| υ | 0965 | 127 | Υ | 0933 | 0 |
| φ | 0966 | 74 | Φ | 0934 | 9 |
| χ | 0967 | 52 | Χ | 0935 | 6 |
| ψ | 0968 | 6 | Ψ | 0936 | 0 |
| ω | 0969 | 82 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 11 | | | 0 |
| ῥ | 8165 | 14 | Ῥ | 8172 | 2 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 65 | έ | 8051 | 96 | ή | 8053 | 28 | ί | 8055 | 118 | ό | 8057 | 73 | ύ | 8059 | 41 | ώ | 8061 | 36 |
| ὰ | 8048 | 79 | ὲ | 8050 | 28 | ὴ | 80852 | 35 | ὶ | 8054 | 63 | ὸ | 8056 | 83 | ὺ | 8058 | 35 | ὼ | 8060 | 11 |
| ᾶ | 8118 | 10 | | | 0 | ῆ | 8134 | 29 | ῖ | 8150 | 61 | | | 0 | ῦ | 8166 | 65 | ῶ | 8182 | 68 |
| ἀ | 7936 | 61 | ἐ | 7952 | 79 | ἠ | 7968 | 6 | ἰ | 7984 | 31 | ὀ | 8000 | 6 | ὐ | 8016 | 52 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 0 | ἑ | 7953 | 3 | ἡ | 7969 | 8 | ἱ | 7985 | 12 | ὁ | 8001 | 19 | ὑ | 8017 | 10 | ὡ | 8033 | 7 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 2 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 2 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 3 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 6 | ἔ | 7956 | 13 | ἤ | 7972 | 2 | ἴ | 7988 | 2 | ὄ | 8004 | 2 | ὔ | 8020 | 2 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 0 | ἥ | 7973 | 0 | ἵ | 7989 | 2 | ὅ | 8005 | 13 | ὕ | 8021 | 6 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 7 | ἶ | 7990 | 2 | | | 0 | ὖ | 8022 | 4 | ὦ | 8038 | 1 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 2 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 1 | | | 0 | ῃ | 8131 | 11 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 10 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 2 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 3 | | | 0 | ῇ | 8135 | 5 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 17 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In Herodem et infantes**
**Verborum Omnium Conspectus: 662Verba, quae repetita sunt in 2,181,079 occasionibus**

---

**Ἀβραὰμ** [00060] [00061]
**Ἀβραμιαίους** [00115]
**ἀγάλλομαι** [00007]
**ἀγκάλας** [00037]
**ἀγκαλῶν** [00086]
**ἀγροὺς** [00085]
**Ἀδὰμ** [00061]
**ἀδίκου** [00085]
**ἀεὶ** [00003] [00006]
**ἀέρι** [00102]
**ἀθρόως** [00085]
**Αἱ** [00079] [00094]
**αἱ** [00085] [00090] [00099]
**Αἰγύπτιαι** [00079]
**Αἰγυπτίους** [00069]
**Αἰγυπτίων** [00070]
**Αἴγυπτον** [00077]
**Αἰγύπτῳ** [00066] [00069] [00083]
**αἰδεσιμώτεροι** [00078]
**αἰτῶ** [00009]
**αἰῶνας** [00119]
**αἰώνων** [00119]
**Ἀκαίρου** [00064]
**Ἄκουε** [00015]
**ἀκουόντων** [00011]
**ἀκούων** [00094]
**ἀλλ** [00009] [00062] [00069] [00092]
**Ἀλλ** [00007] [00022] [00110]
**ἀλλὰ** [00007] [00011] [00042] [00049] [00061] [00074] [00082] [00084] [00112] [00115]
**ἀλληνάλλως** [00097]
**ἄλλο** [00082]
**ἀλλοεθνὴς** [00069]
**ἅμα** [00079]
**ἂν** [00090]
**ἀναιρεῖ** [00071]
**ἀνάκρινον** [00047]
**ἀνέθρεψε** [00074]
**ἀνείλατο** [00074]
**ἀνεῖλε** [00013] [00019] [00025]
**ἀνεῖλεν** [00023]
**ἀνελεῖς** [00040]
**ἀνέλυσε** [00072]
**ἀνέχεται** [00088]
**Ἄνοιξον** [00011]
**ἀντεθρήνουν** [00095]
**ἀντιτάξασθαι** [00081]
**ἀξίαν** [00011]
**ἀπαλλάττεσθαι** [00006]
**ἀπεφάνθην** [00005]
**ἀπλήστων** [00006]
**ἀποδύρομαι** [00007]
**ἀποστείλας** [00013] [00025]
**Ἀποστείλας** [00019]
**ἀποτυχία** [00024]
**ἀρεύστως** [00049]
**ἄῤῥενα** [00066] [00066] [00069] [00079]
**ἄῤῥενας** [00107]
**ἀῤῥένων** [00080] [00107]
**ἀσπλαγχνία** [00067]

**ἀστέρα** [00031] [00047]
**ἀστὴρ** [00030]
**ἀτεκνοῖς** [00035]
**αὐτὰς** [00108]
**αὐτῆς** [00013] [00017] [00019] [00025] [00084]
**αὐτὸ** [00011]
**αὐτοῖς** [00030]
**αὐτὸν** [00109]
**αὐτὸς** [00021] [00112]
**αὐτοῦ** [00020] [00074]
**αὐτοὺς** [00098]
**αὐτῶν** [00080] [00097] [00110]
**ἀφηγεῖσθαι** [00003]
**ἀωροτομῆσαι** [00042]

**βαρβάρων** [00090] [00092]
**βασιλέα** [00051]
**βασιλεῖ** [00081] [00081]
**βασιλεία** [00118]
**βασιλείας** [00033]
**βασιλεῦ** [00050]
**βασιλεὺς** [00013]
**βασιλέως** [00097] [00103] [00109]
**Βηθλεὲμ** [00013] [00019] [00025] [00066] [00084]
**βία** [00093]
**βιαίῳ** [00080]
**βοᾷν** [00110]
**βοήσας** [00057]
**βουλόμενον** [00054]
**βρέφη** [00028] [00029] [00031] [00040] [00066] [00069] [00084] [00095] [00097]
**βρεφοκτονίας** [00022]
**βρέφος** [00088]
**βρέφους** [00074]
**βρεφῶν** [00079] [00080]
**βροχῆσαι** [00079]

**Γαβριὴλ** [00047]
**γάλακτι** [00096]
**γὰρ** [00008] [00010] [00019] [00020] [00023] [00029] [00041] [00072] [00073] [00079] [00080] [00086] [00088] [00091] [00098] [00118]
**γένει** [00079]
**γενεῶν** [00018]
**γεννήσει** [00014]
**γένος** [00069]
**γῆν** [00096]
**γοῦν** [00012]
**γυμνοῖς** [00037]
**γυναιξὶν** [00039]

**δάκνειν** [00091]
**δακνομένας** [00110]
**δανειστῶν** [00006]
**δὲ** [00005] [00013] [00015] [00020] [00024] [00045] [00047] [00061] [00068] [00082] [00084] [00097] [00097] [00107] [00109] [00111]
**δέ** [00087]
**δεδιὼς** [00069]
**δεῖ** [00067]
**δειλίαν** [00062]
**δειλιάσωσι** [00044]
**Δέσποτα** [00103]
**Δεσπότην** [00030] [00076] [00102] [00111]
**δεσπότου** [00008]
**δέχεται** [00088]
**δήμιοι** [00102]
**δημιουργός** [00061]
**δι** [00112]
**Διὰ** [00107]
**διὰ** [00011] [00011] [00033] [00054] [00071] [00071] [00074] [00111]
**διάβολος** [00098]
**διαβόλου** [00020] [00024]
**διαγράψω** [00089]
**διαλυτὴς** [00072]
**διαπράττεται** [00104]
**διαπράττῃ** [00065]
**διασώζει** [00076]
**διαφθορὰν** [00088]
**διεῤῥήγνυον** [00100]
**διέῤῥιπτον** [00102]
**διετοῦς** [00013] [00040]
**Διὸ** [00009] [00081]
**δόγμα** [00047]
**δόγματος** [00085]
**δόξα** [00119]
**δοξολογεῖς** [00049]
**δορυφόροι** [00068] [00097]
**δορυφόρων** [00078]
**δοῦλός** [00008]
**δράματος** [00098]
**δυνάμενος** [00031]
**δυνήσῃ** [00048]

**ἐὰν** [00044] [00045] [00048]
**ἑαυτὸ** [00087]
**ἑαυτοῦ** [00022]
**ἑαυτῶν** [00112]
**ἐβόων** [00094]
**Ἑβραίων** [00066] [00079]
**ἐγεγόνει** [00090]
**ἐγένετο** [00072]
**ἐγύμνωσε** [00083]
**ἐγχείρημα** [00109]
**ἐδαφίζοντες** [00097]
**ἐδημιούργησας** [00105]
**ἐδημοσίευον** [00102]
**ἐζημίωσαν** [00115]
**ἐζήτει** [00023]
**ἐθέσπισε** [00072]
**ἔθνος** [00082]
**Ἐθορύβει** [00098]
**ἐθυμώθη** [00013] [00025]

**Εἰ** [00087] [00090] [00108]
**εἰ** [00069] [00107] [00109]
**εἰδυίας** [00110]
**εἰκὸς** [00110]
**εἵλαντο** [00081]
**είλίσσετο** [00080]
**εἰμι** [00008]
**εἰπεῖν** [00067] [00113]
**Εἰς** [00002]
**εἰς** [00002] [00088] [00119]
**ἐκ** [00015] [00055]
**ἐκείνης** [00089]
**ἐκεῖνο** [00087]
**ἐκεῖνος** [00077] [00104] [00105] [00106]
**Ἐκεῖνος** [00066]
**ἐκείνου** [00085]
**ἐκληρονόμησαν** [00115]
**ἔκπεμψον** [00047]
**ἐλεῶν** [00095]
**ἐμαρτύροντο** [00102]
**ἐμὲ** [00006]
**ἐμὴν** [00006]
**ἐμήνυσε** [00030]
**ἐμπείρῃς** [00041]
**ἐμφύλιος** [00092]
**ἐν** [00006] [00013] [00013] [00014] [00017] [00019] [00019] [00025] [00025] [00066] [00066] [00069] [00073] [00084] [00084] [00119]
**Ἐν** [00104]
**ἔνδον** [00080]
**ἐνδοχὴν** [00009]
**ἐνεπαίχθη** [00013] [00025]
**ἐνεπαίχθης** [00028]
**ἐντυχίαν** [00093] [00102]
**ἔξω** [00086] [00088]
**ἐπ** [00018]
**ἐπεδείξατο** [00082]
**Ἐπειδὴ** [00047]
**ἐπελάβου** [00033]
**ἐπεπήγει** [00096]
**ἐπεχείρει** [00069]
**ἐπὶ** [00097]
**Ἐπὶ** [00099]
**ἐπιβουλευομένων** [00111]
**ἐπιδείξῃ** [00033]
**Ἐπίδειξον** [00043]
**ἐπιλάβῃ** [00048]
**ἐπισκηψαμένου** [00085]
**ἐπιστάμεναι** [00080]
**Επιτρέπετα** [00056] [00101] [00120]
**ἐποιοῦντο** [00102]
**ἐργοδιώκτης** [00098]
**ἔργον** [00020]
**ἔρχεσθαι** [00117]
**ἐστι** [00060]
**ἔστι** [00042]
**ἐστὶν** [00118]
**ἐστιν** [00055]
**ἐσφάζοντο** [00112]
**ἐσχάτων** [00018]
**ἐτέκομεν** [00107]
**ἐτεκτήνατο** [00082]
**εὐαγγελιστοῦ** [00012]
**εὔελπις** [00008]
**εὔκαιρον** [00113]
**εὐπρεπείας** [00099]
**εὕρασθαι** [00048]
**εὗρε** [00073]
**εὑρήσουσιν** [00058]
**εὑρίσκω** [00089]
**εὐσεβῆ** [00011]
**εὐχαρίσω** [00106]
**ἐφελκόμενον** [00087]
**ἔφερον** [00090]
**ἔφοδος** [00090] [00092]
**ἐφονεύετο** [00112]
**ἐφόνευσεν** [00074]
**ἐφρόντιζον** [00099]
**Ἔχεις** [00041]
**ἔχουσα** [00093] [00093]
**Ἔχω** [00010]

**ζημιοῖ** [00106]
**ζῇν** [00088]
**ζητεῖς** [00049]
**ζήτησον** [00047]
**Ζητήσουσί** [00058]

**ἡ** [00018] [00024] [00103] [00118] [00119]
**ἢ** [00033] [00081]
**ἠβουλήθη** [00087]
**ἤγειρε** [00022]
**ἤδη** [00067]
**Ἤθελον** [00003]
**Ἤκουες** [00012]
**ἠκούσθη** [00017]
**ἠκρίβωσε** [00013]
**ἡμᾶς** [00108]
**ἡμερῶν** [00018]
**ἠμφίεσται** [00062]
**ἡμῶν** [00119]
**ἦν** [00020] [00072] [00085] [00092] [00093] [00093] [00094]
**ἠνείχοντο** [00086]
**Ἡρώδη** [00026] [00034] [00046] [00055] [00063] [00075]
**Ἡρώδην** [00002] [00021]
**Ἡρώδης** [00013] [00023] [00067] [00082] [00084] [00096]
**Ἡρώδου** [00018] [00020] [00024] [00068] [00072] [00078]
**ἠσθένουν** [00099]
**Herodem** [00001]

**θάνατον** [00087]
**θάνατος** [00107]

θανάτῳ [00080]
θᾶττον [00109]
θέλεις [00052] [00053] [00077]
θέλοντά [00053]
θεομαχεῖς [00050]
Θεὸν [00010]
θεότητα [00060]
θεσπίσματος [00072]
Θεῷ [00081]
θήκη [00073]
θηλαζόντων [00033]
θηριωδέστερος [00067]
θρήνους [00039]
θρηνῳδίας [00089]
θυγατρὸς [00074]
θυμὸν [00083]
θυμός [00067]
θυμοῦ [00064]
θυμοῦσαι [00026] [00063]

ἴδιον [00087]
ἰδίου [00072]
Ἰδὼν [00013] [00025]
Ἰερεμίου [00016]
Ἰησοῦ [00119]
Ἰησοῦν [00023]
ἱλαρυνόμενα [00045]
ἵνα [00033]
Ἰουδαίων [00066] [00069]
ἰσοτάλαντος [00067]
Ἰσραηλιτῶν [00069] [00070]
ἰσχὺν [00033]
ἰχθὺς [00088]
Ιn [00001]

καθ [00022]
καθολικῆς [00089]
κακίαν [00082]
κακίας [00020]
κακοὶ [00058]
καταλιμπάνοντες [00097]
καταλύσας [00074]
κατάσφαζε [00044]
κατασφάζει [00070]
κατασφάττων [00105]
καταφρονεῖς [00059]
κατέξεον [00102]
κατέῤῥεον [00096]
κατηγγέλλετο [00018]
κατήρασσον [00102]
κατισχύση [00069]
κατωτέρω [00013] [00040]
κέλευσον [00108]
κέρδος [00064]
κλαίετε [00114] [00114] [00116] [00116]
κλαίουσα [00017]
κλαυθμῷ [00087]
κόλπους [00115] [00115]
κουφότερον [00090]
κρατῆσαι [00052]
κράτος [00119]
κρατοῦντά [00052]
Κραυγὴ [00017]
κριτὴν [00102] [00102]
κρύπτεσθαι [00102]
κρύψαι [00087]
κρύψωσιν [00085]
κτονεῖς [00032]
Κυριακῆς [00005]
Κυρίου [00113]
Κυρίῳ [00119]
Κυριωνύμου [00005]
κωλύετε [00117]
κώμας [00085]

λαλοῦντος [00011]
λέγεις [00075]
λέγοντα [00010]
λέγοντες [00102]
λέγοντι [00003]
λέγοντος [00012] [00016]
λίαν [00013] [00025]
λίθοις [00102]
λίθος [00096]
λογοδότην [00010]
λόγον [00003]

μάγους [00029] [00047]
μάγων [00013] [00013] [00025] [00028]
μαῖαι [00079]
μακαριώτερον [00111] [00112]
μακρὰν [00088]
μακρόπνικτα [00097]
μάλιστα [00005]
μᾶλλον [00020] [00067] [00081] [00096]
μανία [00018]
μανίαν [00082]
μανίας [00020]
μαστίζειν [00077]
μαστοὶ [00096]
μαστὸν [00087]
μαστοὺς [00036] [00102]
μαστῶν [00088]
Ματθαίου [00012]
με [00058] [00117]
μεθοδευόντων [00006]
μεθύουσαι [00099]
μείζονι [00081]

**μέλλοντα** [00077]
**μὲν** [00003] [00083] [00097] [00110]
**μένειν** [00086]
**μεριζομένη** [00091]
**μετακάλεσαι** [00047]
**μετελθεῖν** [00046] [00076]
**μετέρχεται** [00062]
**μετέρχη** [00109]
**μετῆλθον** [00079]
**μετήρχοντο** [00097]
**μετριώτερον** [00091]
**μηδὲ** [00117]
**μητέρα** [00047]
**μητέρας** [00035] [00110] [00113]
**μητέρες** [00080] [00085] [00090] [00094] [00099] [00114] [00116]
**μήτηρ** [00087]
**μητρικῶν** [00086] [00088] [00089]
**μηχανησάμενος** [00023]
**μόνη** [00083]
**Μόνον** [00073]
**μόνον** [00061] [00074] [00084] [00112]
**Μωϋσέα** [00076]
**Μωϋσῆν** [00073]

**νεοττοῖς** [00110]
**νήπια** [00002] [00117]
**νηπίοις** [00034]
**νηπίου** [00059]
**νηπίων** [00021] [00027]
**Νομίζεις** [00046]
**νόμον** [00072] [00074] [00093]

**ξηραίνεις** [00036]
**ξίφει** [00045] [00045]
**ξίφος** [00022] [00041] [00043] [00045]

**ὁ** [00013] [00023] [00055] [00067] [00072] [00094] [00095] [00096] [00098] [00107] [00112]
**Ὁ** [00069] [00082]
**ὀδύνην** [00090]
**ὀδυρμῶν** [00089]
**οἱ** [00068] [00078] [00096] [00097]
**οἶδ** [00006]
**οἶδε** [00091]
**οἰκονομίαν** [00062]
**οἰκουμένην** [00077]
**ὀλέσθαι** [00053]
**ὀλίγον** [00115]
**ὅλων** [00102]
**ὅλως** [00047]
**ὁμοδίαιτος** [00067]
**ὁμόθυμος** [00067]
**ὅμοια** [00065]
**ὁμοφύλους** [00082]
**ὅμως** [00007] [00022] [00069]
**ὃν** [00013] [00023] [00072]
**ὄντας** [00013]
**Ὄντως** [00113]
**ὁπλίζῃ** [00027]
**ὅπως** [00006]
**Ὅπως** [00016]
**Ὁρᾷς** [00018]
**ὁρίοις** [00013] [00019] [00025] [00084]
**ὅτι** [00005] [00013] [00025] [00067] [00072] [00112]
**Οὐ** [00049] [00062]
**οὐ** [00011] [00061] [00071] [00074] [00079] [00082] [00083] [00084] [00095] [00105] [00109] [00112]
**Οὐκ** [00006] [00085] [00092]
**οὐκ** [00007] [00009] [00023] [00042] [00074] [00086] [00088] [00088] [00094] [00099]
**οὖν** [00031] [00063] [00099]
**οὐρανὸν** [00102]
**οὐρανῶν** [00118]
**οὖσαι** [00079]
**οὗτός** [00055]
**Οὕτω** [00072] [00078]
**οὕτω** [00088] [00107]
**οὐχ** [00058] [00089]
**ὀφειλομένους** [00102]
**ὀφθῆναί** [00054]
**ὄφλημα** [00006]

**πάθει** [00099]
**πάθους** [00110]
**παῖδας** [00013] [00019] [00025] [00070]
**παίδων** [00112]
**παισὶ** [00043]
**παλαιότερός** [00060]
**παλαιότερος** [00061]
**πάλιν** [00078]
**πανουργεύεις** [00054]
**πάντας** [00013] [00019] [00025]
**πάντοτε** [00003]
**παρὰ** [00013]
**παρακαλῶ** [00009]
**παρανομία** [00093]
**παρανόμου** [00109]
**παραπλησίοις** [00099]
**παράστειλον** [00047]
**παρεδίδου** [00087]
**παρειὰς** [00102]
**παρεστῶτά** [00054]
**παρῆν** [00095]
**Παρθένον** [00047]
**πᾶσι** [00013] [00019] [00025] [00084]
**πάσχοντα** [00091]
**πάσχουσι** [00080]
**παύεται** [00105]
**Παύλῳ** [00003]
**πειθόμενος** [00003]
**πενίαν** [00006]

**περαιτέρω** [00083]
**περὶ** [00006]
**περιποιεῖται** [00077]
**πετρῶν** [00097]
**πικρὸς** [00107]
**πλάσμασι** [00104]
**πλέον** [00007]
**πληθύνεις** [00039]
**πληρωθῇ** [00016]
**πληρώσω** [00011]
**πλοκάμους** [00102]
**πλουσίου** [00008]
**πνευματικὰ** [00004]
**Πνευματικοῖς** [00004]
**πνευματικοῖς** [00006]
**πνευματικὸν** [00003]
**πολεμεῖ** [00071]
**πολεμεῖς** [00034]
**πόλεμος** [00092]
**πόλιν** [00085]
**πολλὰ** [00023]
**πολλῶν** [00015] [00055]
**Πολὺ** [00060]
**πολὺ** [00067] [00068]
**πολυπραγμονεῖς** [00051]
**πονηρίαν** [00054]
**πονηρίας** [00067]
**πορθήσῃ** [00069]
**πόσων** [00018]
**ποταμοῤῥιφῆναι** [00066]
**ποταμῷ** [00073]
**ποτε** [00087]
**ποῦ** [00041] [00085]
**πρὸ** [00018]
**προελέγετο** [00015]
**προῄρησαι** [00047] [00076]
**προπετῶς** [00026] [00063]
**πρὸς** [00082] [00082] [00087] [00097] [00102] [00113] [00115]
**πρός** [00117]
**προσγελῶσι** [00045]
**προσδράμωσι** [00045]
**προσέταξε** [00066]
**προσέταξεν** [00069] [00084]
**προσκαίρῳ** [00081]
**προσκροῦσαι** [00081]
**πρόσταγμα** [00108] [00109]
**προστάττεις** [00066]
**προσταχθεῖσαι** [00079]
**προσφέρεις** [00045]
**προτέρας** [00005]
**προφήτας** [00047]
**προφήτου** [00016]
**πτῶσις** [00064]
**πῶς** [00015] [00089]

**Ῥαμᾷ** [00017]
**Ῥαχὴλ** [00017]
**ῥηθὲν** [00016]
**ῥητόν** [00113]
**ῥύμας** [00085]

**σάρκα** [00014]
**σε** [00052] [00053]
**σιωπῶντα** [00102]
**σοι** [00054] [00054]
**σοῖς** [00104]
**σὸν** [00108]
**σου** [00011] [00054]
**σπαράττοντες** [00097]
**σπλάγχνα** [00038] [00080]
**στερούμεναι** [00080]
**στερούμενον** [00088]
**στῆθος** [00102]
**στόμα** [00011]
**σὺ** [00066] [00076] [00077] [00105] [00106]
**συγγνώμην** [00009]
**συγκρίνοντες** [00004]
**συμβαίνει** [00006]
**συμφέρον** [00110]
**συμφορὰ** [00091]
**σὺν** [00006]
**συναποθανεῖν** [00108]
**συνήγορον** [00093]
**συσχεῖν** [00054]
**σχήματα** [00089]
**σώζοντα** [00077]
**σῶσαι** [00053]
**Σωτῆρα** [00046]

**τὰ** [00002] [00017] [00028] [00029] [00031] [00040] [00065] [00066] [00066] [00069] [00079] [00084] [00085] [00089] [00095] [00097] [00097] [00097] [00097] [00117]
**ταλαιπωρία** [00024]
**τἀληθέστερον** [00067]
**τὰς** [00102] [00110] [00113]
**Ταῦτα** [00014]
**ταῦτα** [00079] [00110]
**τέκνα** [00017] [00085]
**τέκνον** [00087]
**τεχθέντα** [00030] [00049]
**τῇ** [00014] [00083] [00087]
**τὴν** [00006] [00011] [00011] [00033] [00054] [00060] [00077] [00077] [00082] [00082] [00088] [00090] [00096]
**τῆς** [00005] [00020] [00020] [00022] [00033] [00074] [00089] [00099]
**Τί** [00063] [00065] [00075] [00111]
**τί** [00026] [00027] [00045] [00080] [00107] [00109] [00112]
**Τίς** [00103]
**τιτρώσκεις** [00038]
**τὸ** [00006] [00011] [00016] [00020] [00022] [00041] [00043] [00045] [00064] [00069] [00087] [00102] [00108] [00109] [00110] [00113] [00119]
**τοιοῦτον** [00083]
**τοιούτου** [00098]
**τοιούτων** [00118]
**τοῖς** [00006] [00013] [00019] [00025] [00043] [00045] [00084] [00099] [00104] [00110]

**τοίχους** [00097]
**τοκετῷ** [00079]
**τόκῳ** [00006]
**Τὸν** [00031]
**τὸν** [00002] [00003] [00010] [00010] [00013] [00021] [00030] [00046] [00047] [00047] [00048] [00049] [00051] [00052] [00053] [00054] [00073] [00074] [00076] [00076] [00077] [00077] [00083] [00087] [00087] [00091] [00102] [00102] [00111]
**τοξεῦσαι** [00031]
**τοσαύτη** [00103]
**τότε** [00048] [00085]
**τοῦ** [00006] [00011] [00012] [00014] [00016] [00018] [00020] [00020] [00024] [00024] [00060] [00061] [00061] [00067] [00068] [00068] [00072] [00072] [00074] [00078] [00078] [00085] [00085] [00088] [00097] [00098] [00103] [00109] [00110] [00113]
**Τοὺς** [00100]
**τοὺς** [00013] [00013] [00019] [00019] [00025] [00025] [00029] [00047] [00047] [00069] [00070] [00082] [00097] [00100] [00102] [00115] [00115] [00119]
**Τοῦτο** [00042]
**τοῦτο** [00006] [00020] [00033] [00069] [00069] [00079]
**τούτοις** [00099]
**τοῦτον** [00046] [00074]
**τούτου** [00059]
**τούτων** [00048] [00112]
**τυγχάνοντα** [00051]
**τυγχάνουσαι** [00079]
**τῷ** [00003] [00045] [00045] [00073] [00079] [00079] [00081] [00081] [00096] [00099] [00102] [00119]
**Τῶν** [00118]
**τῶν** [00006] [00011] [00013] [00013] [00015] [00018] [00021] [00025] [00027] [00028] [00055] [00066] [00066] [00068] [00069] [00069] [00070] [00078] [00079] [00079] [00086] [00089] [00097] [00102] [00107] [00111] [00112] [00118] [00119]

**ὕδατος** [00088]
**υἱὸν** [00074]
**ὑμετέρους** [00115]
**ὑμῶν** [00006]
**ὑπασπισταὶ** [00078]
**ὑπασπιστῶν** [00068]
**ὑπὸ** [00013] [00016] [00025] [00110]
**Ὑπὸ** [00028]

**Φαραὼ** [00065] [00067] [00068] [00069] [00072] [00076] [00078] [00083]
**Φειδοῖ** [00070]
**φειδοῖ** [00074]
**φερόμενον** [00073]
**φησὶ** [00016]
**φησὶν** [00019] [00025]
**φθόνον** [00071]
**φιλανθρωπότερος** [00072]
**φιληκοΐαν** [00011]
**φιλίᾳ** [00087]
**φιλόθεοι** [00079]
**φίλοι** [00007]
**φοβηθέντα** [00044]
**φόβον** [00071]
**φόνευε** [00044]
**φονεύειν** [00077]
**φονο** [00031]
**φονοκτονεῖς** [00028]
**φονοκτονεῖσθαι** [00066] [00069]
**φονοκτονῆσαι** [00042] [00046]
**φυλάκισον** [00047]

**χαλεπώτεροι** [00068]
**χιτῶνας** [00100]
**χλωροκοπεῖσθαι** [00084]
**χρέους** [00006]
**χρεώστης** [00005]
**Χριστὸν** [00048] [00076] [00111]
**Χριστὸς** [00112]
**Χριστοῦ** [00014]
**Χριστῷ** [00119]
**χρόνον** [00013]
**χρόνων** [00015] [00057]

**ὢ** [00067] [00067]
**ὦ** [00007]
**Ὢ** [00020] [00067] [00085] [00089]
**Ὦ** [00026]
**ᾧ** [00119]
**ὡδήγησαν** [00029]
**ὠδινούσαις** [00039]
**Ὠμότεροι** [00097]
**ὠμότης** [00103]
**ὥπλισε** [00021]
**ὡς** [00069] [00074] [00096] [00102] [00102] [00112]
**Ὡς** [00059]
**Ὡσαύτως** [00068]
**Ὥσπερ** [00088]